eul_wid: bwc-aa

*Ζήνων ὁ Ἐλεᾱ́της* · Zeno of Elea

# On the Nature of Plurality

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Συναγωγή* Collection
**Affiliation:** Eleatic

tit ΖΗΝΩΝΟΣ ΠΕΡΙ ΦΥΣΕΩΣ

1 SIMPL. Phys. 140, 34 [nach B 3] τὸ δὲ κατὰ μέγεθος [ἄπειρον ἔδειξε] πρότερον κατὰ τὴν αὐτὴν ἐπιχείρησιν. προδείξας γὰρ ὅτι ‘ εἰ μὴ ἔχοι μέγεθος τὸ ὂ ν , οὐ δ ’ ἂν εἴη ‘, ἐπάγει ‘ εἰ δὲ ἔστι ν , ἀνάγκη ἕκαστον μέγεθός τι ἔχειν καὶ πάχος καὶ ἀπέχειν αὐτοῦ τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρο υ . καὶ περὶ τοῦ προύχοντος ὁ αὐτὸς λόγο ς . καὶ γὰρ ἐκεῖνο ἕξει μέγεθος καὶ προέξει αὐτοῦ τ ι . ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν · οὐδὲν γὰρ αὐτοῦ τοιοῦτον ἔσχατον ἔσται οὔτε ἕτερον πρὸς ἕτερον οὐκ ἔστα ι . οὕτως εἰ πολλά ἐστι ν , ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα · μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθο ς , μεγάλα δὲ ὥστε ἄπειρα εἶναι ‘ .

2 SIMPL. Phys. 139, 5 ἐν μέντοι τῶι συγγράμματι αὐτοῦ πολλὰ ἔχοντι ἐπιχειρήματα καθ’ ἕκαστον δείκνυσιν, ὅτι τῶι πολλὰ εἶναι λέγοντι συμβαίνει τὰ ἐναντία λέγειν· ὧν ἕν ἐστιν ἐπιχείρημα, ἐν ὧι δείκνυσιν ὅτι ‘εἰ πολλά ἐστι, καὶ μεγάλα ἐστὶ καὶ μικρά· μεγάλα μὲν ὥστε ἄπειρα τὸ μέγεθος εἶναι, μικρὰ δὲ οὕτως ὥστε μηθὲν ἔχειν μέγεθοσ‘ [B 1]. ἐν δὴ τούτωι δείκνυσιν, ὅτι οὗ μήτε μέγεθος μήτε πάχος μήτε ὄγκος μηθείς ἐστιν, οὐδ’ ἂν εἴη τοῦτο. ‘ εἰ γὰρ ἄλλωι ὄντ ι , φησ ί , προσγένοιτ ο , οὐδὲν ἂν μεῖζον ποιήσειεν · μεγέθους γὰρ μηδενὸς ὄντο ς , προσγενομένου δ έ , οὐδὲν οἷόν τε εἰς μέγεθος ἐπιδοῦνα ι . καὶ οὕτως ἂν ἤδη τὸ προσγινόμενον οὐδὲν εἴ η . εἰ δὲ ἀπογινομένου τὸ ἕτερον μηδὲν ἔλαττον ἔσται μηδὲ αὖ προσγινομένου αὐξήσετα ι , δῆλον ὅτι τὸ προσγενόμενον οὐδὲν ἦν οὐδὲ τὸ ἀπογενόμενον ‘ . καὶ ταῦτα οὐχὶ τὸ ἓν ἀναιρῶν ὁ Ζήνων λέγει, ἀλλ’ ὅτι μέγεθος ἔχει ἕκαστον τῶν πολλῶν καὶ ἀπείρων τῶι πρὸ τοῦ λαμβανομένου ἀεί τι εἶναι διὰ τὴν ἐπ’ ἄπειρον τομήν· ὃ δείκνυσι προδείξας, ὅτι οὐδὲν ἔχει μέγεθος ἐκ τοῦ ἕκαστον τῶν πολλῶν ἑαυτῶι ταὐτὸν εἶναι καὶ ἕν.

3 — —140, 27 καὶ τί δεῖ πολλὰ λέγειν, ὅτε καὶ ἐν αὐτῶι φέρεται τῶι τοῦ Ζήνωνος συγγράμματι; πάλιν γὰρ δεικνύς, ὅτι εἰ πολλά ἐστι, τὰ αὐτὰ πεπερασμένα ἐστὶ καὶ ἄπειρα, γράφει ταῦτα κατὰ λέξιν ὁ Ζ.· ‘ εἰ πολλά ἐστι ν , ἀνάγκη τοσαῦτα εἶναι ὅσα ἐστὶ καὶ οὔτε πλείονα αὐτῶν οὔτε ἐλάττον α . εἰ δὲ τοσαῦτά ἐστιν ὅσα ἐστ ί , πεπερασμένα ἂν εἴ η . εἰ πολλά ἐστι ν , ἄπειρα τὰ ὄντα ἐστίν · ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστ ί , καὶ πάλιν ἐκείνων ἕτερα μεταξ ύ . καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί ‘. καὶ οὕτως μὲν τὸ κατὰ τὸ πλῆθος ἄπειρον ἐκ τῆς διχοτομίας ἔδειξε.

4

DIOG. IX 72 οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης καὶ Ζ. ὁ Ἐλεάτης καὶ Δημόκριτος κατ’ αὐτοὺς σκεπτικοὶ τυγχάνουσιν ... Ζ. δὲ τὴν κίνησιν ἀναιρεῖ λέγων ‘ τὸ κινούμενον οὔ τ ’ ἐν ὧι ἔστι τόπωι κινεῖται οὔ τ ’ ἐν ὧι μὴ ἔστι ‘.

Eulogikon public reading copy · View original HTML at eulogikon.org